αὐτῶν ἐστὶν εὐθειῶν. ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι:~



λ Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπε-
δα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν
αὐτῶν εὐθειῶν. ἴσα ἀλλήλοις ἐστίν· ἔστωσαν ἐπὶ τῆς
αὐτῆς βάσεως τῆς ΑΒ στερεὰ παραλληλεπίπεδα
τὰ ΓΜ ΓΝ ὑπὸ τὸ αὐτὸ ὕψος ὧν, αἱ ἐφεστῶσαι αἱ ΑΖ
ΑΗ ΛΜ ΛΝ ΓΔ ΓΕ ΒΘ ΒΚ μὴ ἔστωσαν ἐπὶ τῶν αὐτῶν εὐ-
θειῶν· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΓΜ στερεὸν τῷ ΓΝ στερεῷ·
ἐκβεβλήσθωσαν γὰρ αἱ ΝΚ ΔΘ καὶ συμπιπτέτωσαν ἀλ-
λήλαις κατὰ τὸ Ρ. καὶ ἔτι ἐκβεβλήσθωσαν αἱ ΖΜ ΗΕ ἐπὶ
τὰ ΟΠ. καὶ ἐπεζεύχθωσαν αἱ ΑΞ ΛΟ ΓΠ ΒΡ· ἴσον δή ἐστι
τὸ ΓΜ στερεὸν. οὗ, βάσις μὲν τὸ ΑΓΒΛ παραλληλόγραμ-
μον, ἀπεναντίον δὲ ~~τὸ ΞΠΡΟ~~· ἐπί τε γὰρ τῆς αὐ-
τῆς βάσεώς εἰσι τῆς ΑΓΒΛ, καὶ αὐτῶν αἱ ἐφεστῶσαι αἱ
ΑΖ ΑΞ ΛΜ ΛΟ ΓΔ ΓΠ ΒΘ ΒΡ ἐπὶ τῶν αὐτῶν εἰσὶν εὐθειῶν
τῶν ΖΟ ΔΡ· ἀλλὰ τὸ ΓΟ στερεὸν οὗ βάσις ἐστὶ τὸ ΑΓΒΛ
παραλληλόγραμμον, ἀπεναντίον δὲ τὸ ΞΠΡΟ. ἴσον
ἐστὶ τῷ ΓΝ στερεῷ. οὗ, βάσις μὲν τὸ ΑΓΒΛ παραλλη-

ἀντίκειται

τὸ ζδθμ, τῷ γο
στερεῷ οὗ βάσις μὲν τὸ
ἀγβλ παραλληλό-
γραμμον, ἀπεναν-
τίον δὲ τὸ ξπρο

λόγραμμον. ἀπεναντίον δὲ τὸ ΗΕΚΝ· ἐπί τε γὰρ πάλιν τῆς αὐ-
τῆς βάσεώς εἰσι τῆς ΑΓΒΛ. καὶ αὐτῶν αἱ ἐφεστῶσαι αἱ
ΑΗ ΑΞ ΓΕ ΓΠ ΛΝ ΛΟ ΒΚ ΒΡ ἐπὶ τῶν αὐτῶν εἰσὶν εὐθειῶν
τῶν ΗΠ ΝΡ· ὥστε καὶ τὸ ΓΜ στερεὸν ἴσον ἐστὶ τῷ ΓΝ
στερεῷ· τὰ ἄρα ἐπὶ ἴσων βάσεων στερεὰ παραλλη-
λεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ὧν, αἱ ἐφεστῶσαι οὐ-
κ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν. ἴσα ἀλλήλοις ἐστίν.
ὅπερ ἔδει δεῖξαι:~

τῆς αὐτῆς βάσεως



λα Τὰ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα
καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ἴσα ἀλλήλοις ἐστίν· ἔστω ἐπὶ ἴ-
σων βάσεων τῶν ΑΒ ΓΔ στερεὰ παραλληλεπίπε-
δα τὰ ΑΕ ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος. λέγω ὅτι ἴσον ἐστὶ τὸ
ΑΕ στερεὸν τῷ ΓΖ στερεῷ· ἔστωσαν δὴ πρότερον,
αἱ ἐφεστηκυῖαι αἱ ΘΚ ΒΕ ΑΗ ΛΜ ΟΠ ΔΖ ΓΞ ΡΣ, πρὸς
ὀρθὰς ταῖς ΑΒ ΓΔ βάσεσιν· ἔστω δὲ ὑπὸ ΑΛΒ τῇ ὑπὸ
ΓΡΔ ἄνισος. καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας τῇ ΓΡ εὐθεῖ-
α ἡ ΡΤ· καὶ συνεστάτω πρὸς τῇ ΡΤ εὐθείᾳ καὶ τῷ πρὸς
αὐτῇ σημείῳ τῷ Ρ τῇ ὑπὸ ΑΛΒ γωνίᾳ ἴση ἡ ὑ

ἀντιστροφή· τὰ ἴσα παραλ-
ληλεπίπεδα τὰ ἐπὶ βά-
σεως ὄντα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος

ἀντίκειται

ἀντίκειται

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo